τῆς Ἀκαρνανίας φερόντων, τῆς παρ' αὐτῶν αὐτόθι γενομένης σχολῆς προστῆναι, ἧς καὶ Πκΐσιος προστάτης ἡρέθη πρὸ χρόνων τινῶν ὁ ἀπὸ Κεφαλληνίας Μεταξᾶς, τὴν ἔφεσιν τούτων ἀποπληρῶν, προέστη ταύτης ἔτος καὶ μόνον ἕν· εἶτα εἰς τὸ Ἀνατωλικὸν τῆς Αἰτωλίας μετέβη, καὶ παρὰ τῶν αὐτοῦ φίλων πολλῆς ἔτυχε δεξιώσεως.

Ὁ δὲ Κορυδαλλεὺς Θεόφιλος, οὐ μετὰ πολὺ τοῦ Εὐγενίου τῆς Ἄρτης ἐξελθόντος, παρακλήσει τινῶν τῶν ἐκ τῆς αὐτῆς πόλεως εἰς Κωνσταντινούπολιν κατά τινα χρείαν ἀναβάντων πεισθείς, ἀρχιερεὺς Ναυπάκτου καὶ Ἄρτης ἀναδείκνυται καὶ Θεοδόσιος ἀντὶ Θεοφίλου μετονομάζεται, καὶ μετ' ὀλίγον τὴν Ἄρταν καταλαμβάνει, μητροπολίτης τῆς ἐπαρχίας ταύτης καὶ ὢν καὶ καλούμενος· ἐπεὶ δὲ πολιτικῶν πραγμάτων παντάπασιν ἄπειρος ἦν, εἰ καὶ θεωρητικῆς φιλοσοφίας ἐς ἄκρον ὑπῆρχεν ἐληλακώς, οὐδ' ἔτος ὁλόκληρον ἠδυνήθη τοὺς τῆς ἐκκλησίας ταύτης οἴακας ἔχειν ἐν ταῖς χερσίν· ἡνίκα γὰρ πολιτικάς τινας ἢ καὶ ἐκκλησιαστικὰς ὑποθέσεις καὶ πράξεις καιρὸς ἐκάλει τοῦτον μεταχειρίζεσθαι, οὐ μόνον οὐδὲν τούτων ὡς εἰκὸς ἦν κατώρθου, ἀλλὰ καὶ γελοῖά τινα εἰσέτι καὶ νῦν εἰσὶν οἱ λέγοντες τοῦτον καὶ λέγειν καὶ πράττειν· καὶ πολὺ τούτων γελοιότερα ἦν ἂν πεποιηκώς, εἰ μὴ Εὐγένιος πολλάκις συνὼν αὐτῷ τὰ πλεῖστα διώρθου· οὐδὲ γὰρ πάντη τὴν συνουσίαν αὐτοῦ ἀπελείπετο, εἰ καὶ ἀπ' ἀλλήλων διΐσταντο. Ταύτῃ τοι καὶ ταύτην παραιτησάμενος, Ἀθήναζε παραγίνεται, καὶ τῇ πατρίδι τὸ τελευταῖον δίδωσιν ἑαυτόν· ὃν καὶ μετὰ πάσης τῆς προθυμίας οἱ συμπολῖται ἀποδεξάμενοι, οὐχ ὡς Ἀθηναῖον μόνον, ἀλλὰ καὶ ἕνα τῶν πάλαι γεγενημένων ἐν αὐτῇ φιλοσόφων, ἀλλὰ καὶ ὡς τῇ ἀρχιερατικῇ ἀξίᾳ κεκοσμημένον, τιμῆς τῆς προσηκούσης ἠξίωσαν· καὶ αὖθις μαθητιῶντες οὐκ ὀλίγοι πρὸς αὐτοὺς ἁπανταχόθεν συνέρρεον. Τηνικαῦτα καὶ Νεκτάριος ὁ ὕστερον Ἱεροσολύμων πατριάρχης χρηματίσας, Σιναΐτης ὢν